σβέννυσι γὰρ ἡ τοῦ οἴνου θερμότης τὴν φυσικὴν θερμότητα. τὸ δὲ θερμὸν τὸ περὶ τὸν τόπον ᾧ φρονοῦμεν καὶ ἐλπίζομεν, ποιεῖ εὐθύμους. καὶ διὰ τοῦτο πρὸς τὸ πίνειν εἰς μέθην πάντες ἔχουσι προθύμως, ὅτι πάντας ὁ οἶνος ὁ πολὺς εὐέλπιδας ποιεῖ, καθάπερ ἡ νεότης τοὺς παῖδας. τὸ μὲν γὰρ γῆρας, δύσελπί ἐστιν· ἡ δὲ νεότης, ἐλπίδος πλήρης. εἰσὶ δέ τινες ὀλίγοι, οὓς πίνοντας δυσθυμίαι λαμβάνουσι, διὰ τὴν αὐτὴν αἰτίαν, δι᾽ ἣν καὶ μετὰ τοὺς πότους ἐνίους. ὅσοις μὲν οὖν μαραινομένου τοῦ θερμοῦ αἱ ἀθυμίαι γίνονται, μᾶλλον ἀπάγχονται. διὸ καὶ οἱ νέοι ἢ [καὶ οἱ πρεσβῦται) μᾶλλον ἀπάγχονται. τὸ μὲν γὰρ γῆρας μαραίνει τὸ θερμόν· τῶν δὲ, τὸ πάθος φυσικὸν ὄν, καὶ αὐτὸ τὸ μαραινόμενον θερμόν. ὅσοις δὲ σβεννυμένου, ἐξαίφνης οἱ πλεῖστοι διαχρῶνται αὐτούς, ὥστε θαυμάζειν πάντας, διὰ τὸ μηδὲν ποιῆσαι σημεῖον πρότερον. ψυχροτέρα μὲν οὖν γινομένη ἡ κρᾶσις ἡ ἀπὸ τῆς μελαίνης χολῆς, ὥσπερ εἴρηται, ποιεῖ ἀθυμίας παντοδαπάς· θερμοτέρα δὲ οὖσα, εὐθυμίας. διὸ καὶ οἱ μὲν παῖδες, εὐθυμότεροι· οἱ δὲ γέροντες, δυσθυμότεροι. οἱ μὲν γὰρ, θερμοί. οἱ δὲ, ψυχροί. τὸ γὰρ γῆρας κατάψυξίς τις. συμβαίνει δὲ σβέννυσθαι ἐξαίφνης ὑπό τε τῶν ἐκτὸς αἰτιῶν, ὡς καὶ παρὰ φύσιν τὰ πυρωθέντα, οἷον ἄνθρακα ὕδατος ἐπιχυθέντος. διὸ καὶ ἐκ μέθης ἔνιοι ἑαυτοὺς διαχρῶνται. ἡ γὰρ ἀπὸ τοῦ οἴνου θερμότης, ἐπείσακτός ἐστιν· ἧς σβεννυμένης, συμβαίνει τὸ πάθος. καὶ μετὰ τὰ ἀφροδίσια οἱ πλεῖστοι ἀθυμότεροι γίνονται· ὅσοι δὲ περίττωμα πολὺ προΐενται μετὰ τοῦ σπέρματος, οὗτοι εὐθυμότεροι. κουφίζονται γὰρ περιττώματός τε καὶ πνεύματος, καὶ θερμοῦ ὑπερβολῆς. ἐκεῖνοι δὲ, ἀθυμότεροι πολλάκις· καταψύχονται γὰρ ἀφροδισιάσαντες, διὰ τὸ τῶν ἱκανῶν τι ἀφαιρεθῆναι. δηλοῖ δὲ τοῦτο, τὸ μὴ πολλὴν τὴν ἀπορροὴν γεγονέναι. ὡς οὖν ἐν κεφαλαίῳ εἰπεῖν, διὰ μὲν τὸ ἀνώμαλον εἶναι τὴν δύναμιν τῆς μελαίνης χολῆς, ἀνώμαλοί εἰσιν οἱ μελαγχολικοί. καὶ γὰρ ψυχρὰ σφόδρα γίνεται, καὶ θερμή. διὰ δὲ τὸ ἠθοποιὸς εἶναι, ἠθοποιὸν γὰρ τὸ θερμὸν καὶ ψυχρὸν μάλιστα τῶν ἐν ἡμῖν ἐστιν· ὥσπερ ὁ οἶνος πλείων καὶ ἐλάττων κεραννύμενος τῷ σώματι, ποιεῖ τὸ ἦθος ποιούς τινας ἡμᾶς.

Calor etenim naturalis à calore vini extinguitur. Calor autem, qui eam continet sedem, qua speramus, & sapimus, facit vt securo animo simus, qua de causa omnes ad vinolentiam vsque prompto animo bibimus. Omnes animi spe bona vini copia afficit, quemadmodum iuuentus adolescentulos. Senectus enim parum sperare potest, iuuentus spe plena est. Non desunt, quos angor inter potandum eadem illa de causa comprehendat, qua etiam post potum nonnullos occupat. Quibus igitur calore natiuo emarcescente oritur ægritudo, ij sibi laqueum potius petunt: quare iuuenes potius, quàm senes, laqueo se interimunt. Alteris enim calor per ætatem marcescit, quod naturæ agitur ordine. Alteris per vim ipsius affectus, quod contra naturam est. Quibus autem calor extinctus subitò est, ij repentè se interficiunt, vt omnes mirentur, eò quòd nullum indicium præcesserit. Cùm igitur atra bilis perfriget, (vt dictum est) varias animi molestias, anxietatésque gignit. Calidior autem cùm est, securitatem, & lætitiam præstat. Quocirca pueri lætiores, senes tristiores esse consueuerunt: alteri enim calidi, alteri frigidi sunt: quippe cùm non nisi refrigeratio quædam sit ipsa senectus. Accidit verò vt calor subitò causis quoque externis extinguatur, quemadmodum quę præter suam naturam candent, ceu carbones, aqua super infusa extinguuntur: vnde fit etiam, vt sedata ebrietate nonnulli se ipsos enecent. Calor enim ex vino adiectus est, quo extincto, vsu euenit illa perniciosa affectio. Et post coitum quoque Venereum animo plerique omnes succumbunt, redduntúrque tristiores. Qui tamen copiam excrementi suo cum semine effuderint, ij lætiores, hilarioresque euadunt: quippe qui sic excremento, & flatu, atque calore nimio leuentur: cæteros tristiores, demissioresque sæpe Venus reliquit, eò quòd parti necessariæ aliquo subtracto refrigerantur: quod humoris eius paucitate, qui effluxerit, patet. Summam igitur rationum colligamus. Homines melancholici varij, inæqualésque propterea sunt, quia vis atræ bilis varia, & inæqualis est: quippe quæ vehementer, tum frigida tum calida reddi eadem possit. Et quoniam vim candem morum obtinet instituendorum, (mores enim calidum condit, & frigidum omniũ maximè, quæ nostro in corpore habentur) idcirco nos morum qualitate afficit quadam, informátq. vt vinum, quod prout plus, minúsve corpori intermistum, infusúmque est, varios reddit.